ΓΟΥΛΙΕΛΜΟΥ KUCHENMÜLLER

# ΑΘΗΝΑ ΜΕΡΙΜΝΩΣΑ*

«Σώτειρ' Ἀθηνῶν Ἀττικῆς τε σῆς χθονός,
Διὸς γένεθλον, τάσδε σοι σωτηρίους
φέρει θυηλὰς πᾶς Ἐρεχθειδῶν λεώς.
Σὺ Δωριῶν γὰρ εὐμενῶς ἀπήλασας
στρατὸν φονεύσασ' οὐκ ὀλίγους αἰχμῇ δορὸς
καρπῶν τε γῆς λύμην κακὴν εἴρξασ' ἔχεις...».
Τοιαῦτ' ἐφ' ἁγνῇ Παρθενῶνος ἑστίᾳ
Περικλέους φωνοῦντος ἦν ἀνήκοος
θεά· τὰ μισέλληνα γὰρ καταστυγεῖ
σωτῆρι' ὥστε δυσσεβῆ βλασφημίαν—
ποία 'στὶ νίκη τῶν ὁμαιμόνων κρατεῖν
Ἕλληνά τ' ὄνθ' Ἑλληνικοὺς κακοῦν γύας;
Ἕστηκ' Ἀθηνᾶ τῆλ' ἄπωθε θυμάτων
σωροῦ πάρεγγυς πεδιάδ' ἐν Μαραθωνίᾳ,
οὐ μὴν τὸ πρῶτον, ἀλλὰ πολλάκις θεὰ
φίλοις ἔσαινεν ὄμμασιν φίλον τάφον,
ἀνδρῶν γάρ ἐστι σηκὸς εὖ τεθνηκότων.
Ὦ καλλίνικος, καλλίκαρπος ἡμέρα,
δοῦλον στράτευμ' ἐλευθέρων νικᾷ πόλις.
Κείνης ὅμως μοι καλλίων Σαλαμινία
ἕως ἐφάνθη· δεσπότου τὰ ναυτικὰ
ἀρετὴ 'κράτησε κοινόβουλος Ἑλλάδος.
Τὰ νῦν δὲ —χεῖμ' ἄωρον ἐξέφυσ' ἕως
ἔρρει θ' ὁμόνοια βαρβάρων ᾠχωκότων—
Ξέρξης γὰρ οὖν νιν ἔκτισ', οὐκ εὐβουλία,
ὅτ' ἐν Πλαταιαῖς ἐξέβλαστ' εὐκτὸν θάλος,
ἀπέφθισεν Ταναγρὶς ἀτηρὰ ζάλη.
Εἷς ἦλθ' ἀκέστωρ, Ζεύς νιν ἐξήγειρέ που,

* Δημοσιεύομεν εὐχαρίστως τὸ εἰς ἀρχαίαν γλῶσσαν καὶ ἰαμβικὸν μέτρον συντεθὲν ποίημα τοῦ φιλολόγου **Wilhelm Kuchenmüller**, καθηγητοῦ εἰς τὸ **Hölderlin Gymnasium** τῆς Στουτγάρδης. Οἱ Ἕλληνες φιλόλογοι θὰ ἐκτιμήσουν ἐν αὐτῷ καὶ τὸν ἐνθουσιασμὸν τοῦ κλασσικοῦ φιλολόγου διὰ τὰς ἀρχαίας Ἀθήνας καὶ τὴν θεὰν προστάτιδα αὐτῶν καὶ τὴν ἐπίδοσιν αὐτοῦ εἰς τὴν γλῶσσαν καὶ τὴν στιχουργίαν τῶν ἀρχαίων κλασσικῶν.

ὅπως διαλλάκτης γεγὼς Πανελλάδι
συζευγνύῃ τἀρχῆθεν αὐτανέψια·
τὸν δ' ὀστρακίζουσ'· ὠστρακώσεται, δοκῶ,
θέμεθλ' ἄθικτα τῆς πολισσόου δίκης.
Οὐ γὰρ θέμις πόλιν τυραννεῖσθαι πόλει
δασμὸν φοροῦσαν οἷα βαρβάρῳ τινὶ
καθ' Ἑλλάδ' οὐδὲ Θησέως φῦλόν ποτε
τύραννος οὔθ' Ἡρακλέους γενήσεται.
Τίς δ' ἂν συνωρίσειε τὴν αὐθαδίαν
Σπάρτας Ἀθήναις ; Τίς βροτῶν κατασβέσας
τὴν μισάδελφον ἐχθροδαίμονα στάσιν
κοινῆς τρόπαιον Ἑλλάδος στήσει ποτέ ;
Ῥᾷον μεταστήσειας ἂν Πάρνηθ' ὄρος.
Αὐταῖς δ' Ἀθήνας πῶς συναλλάξαι σθένω
δήμου διχοστατοῦντος αὐθέντην φθόρον ;
Ὦ φιλτάτη τυφλή περ οὖσ' ἐμὴ πόλις,
εἴθ' ὡς λέγουσι σ' εὐτυχεῖν εὐδαιμονοῖς
θύοις τ' ἀληθῶς θεοφιλῆ σωτήρια !
Μόνην δ' ἀρωγὴν τοῦτο μηχανήσομαι—
εἴπερ γ' ἀρωγὸν ὀλβίως φάσκουσ' ἔχειν—
σπάνια μέν ἐστιν, ἀλλ' ἔτ' ἔστι σπέρματα
ἤθους Σόλωνος, ὃν χαλεποῖς ἐν ἐσχάτοις
σωτῆρ' ἔπεμψα καὶ φθορᾶς παιήονα.
Ἄγε νῦν τὸν αἰσυμνῶντα τῆς τραγῳδίας
Αἰσχύλον ἀνώξω, θρέμμ' Ἐλευσῖνος χθονός,
ᾗ δεινὰ σὺν Μούσαισιν ἐξεργάζεται
οὗτος προφήτης Βακχίαν πανήγυριν,
Πέρσας γ' ἰδοῦσα δευτέραν νίκην πόλις
ἤνεγκ' Ἀθηνῶν, ὕβρεως ἐγνωκότες
κρείττους γενέσθαι. Νῦν δ' ἀριστείας τρίτης
ἀκμή 'στιν εὐποροῦσιν ἐλπίδων ὕπερ,
πλεονεξίας μάλιστα μὴν κρατεῖν χρεὼν
ζῆλόν τε χαλινοῦν τοῦ τὰ πάντα καταλαβεῖν
καὶ πᾶν δύνασθαι τῆς σοφίας αὐτουργίᾳ
ζητοῦντά θ' εὑρεῖν πάντα δαιμόνων ἄτερ—
Ἐνταῦθα δ' ὀκνεῖ. Παλλὰς οὐχ ἥβης πάρος
προείλετ' αὐτὴ κἀμπεδῶς ὑπέσχετο
πίστιν διδοῦσα πατρὶ μὴ καμεῖν ποτε
φράζουσα τεχνῶν ἠδ' εὑρημάτων πόρους
Ἕλλησ' ἀδήλους ; Μῶν ἄπιστος ἦν Διί ;
Οὐπώποτ'· οὔτις ὅσον ἡ Διὸς κόρη
τεχνῶν βροτοῖς θησαυρὸν εἰσηγήσατο

πείρας τ' ἀταρπούς· πάντα δ' ἐξογκούμενα
μέτρου θ' ὑπερφρονοῦντα σικχαίνει θεά.
Ταῦτ' οὐκ 'Αθηνᾶ· λῆμ' ὁρῶ σοφιστικόν·
δεσμῶν τις ἐξέλυσέ τις Προμηθέα
κακῶς ὃς ἔδρα τοὺς βροτοὺς εὐεργετῶν
ὑπερθορεῖν τ' ἔπεισ' ὅρους διοσδότους.
Τιτὰν ἄρ' ἔσται τῆσδ' ὁδηγητὴρ χθονός ;
Μὴ δῆτα· πρόσθε σωφρονιεῖ μέθῃ θρασεῖς
ὀρέγων κρατῆρα καιρίως κεκραμένον
γέρων τραγῳδός· εἰσάγων αἰνὸν χορὸν
τῶν σεμνοτίμων γηγενῶν 'Ερινύων
ψυχὴν τινάξει παντὸς αὐθάδους τινός.
῞Ας δ' ἐγγὺς οὐδῶν ἄστεώς ποτ' ᾤκισα
αἰδῶ φυλάξαι καὶ δίκην παλαίφατον,
πέμψουσιν εἰσορῶντες ἠδ' ὁρώμενοι
ἀστοὶ πρόπαντες εὐσεβῶν ὕμνων μέτα
῎Αρεως ὑπ' ὄχθον. Παρθένου δ' ἐν σχήματι
ἔγωγ' ἐναργὴς ἐπιφανεῖσα τῇ τ' ἐμῇ
θαρροῦσα πειθοῖ διακελεύσομαι πόλει,
ὅπως μεταστραφῶσι πρὸς τὸ σωφρονεῖν.
Τάχ' εἰσόμεσθ', εἰ Ζῆνα καὶ θεῶν σέβας
λέλογχ' ὁδηγὸν 'Ελλὰς ἢ Προμηθέα.
῞Εστηκ' 'Αθηνᾶ τίς κάτοιδ' ὥρας πόσας—
Μαραθώνιον ἄλσος ἐσκότωκεν εὐφρόνη—
θείαν μογοῦσα καρδίαν ἀμφ' 'Ελλάδι.